Ο ΑΝΔΡΕΣ ἀγαπᾶτε τὰς γυναῖκας καθὼς καὶ
ὁ Χρς ἠγάπησεν τὴν ἐκκλησίαν καὶ ἑαυτὸν παρέδωκεν
ὑπὲρ αὐτῆς ἵνα αὐτὴν ἁγιάσῃ καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι ἵνα παραστήσῃ
αὐτὸς ἑαυτῷ ἔνδοξον τὴν ἐκκλησίαν μὴ ἔχουσαν
σπῖλον ἢ ῥυτίδα ἢ τι τῶν τοιούτων ἀλλ'
ἵνα ἦ ἁγία καὶ ἄμωμος Οὕτως καὶ οἱ ἄνδρες
ὀφείλουσιν ἀγαπᾶν τὰς ἑαυτῶν γυναῖκας ὡς τὰ
ἑαυτῶν σώματα. Ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα
ἑαυτὸν ἀγαπᾷ. Οὐδεὶς γὰρ ποτὲ τὴν ἑαυτοῦ σάρκα
ἐμίσησεν ἀλλὰ τρέφει αὐτὴν καὶ θάλπει καθὼς
καὶ ὁ Χρς τὴν ἐκκλησίαν Ὅτι μέλη ἐσμὲν τοῦ
σώματος αὐτοῦ ἐκ τῆς σαρκὸς αὐτοῦ καὶ ἐκ τῶν
ὀστέων αὐτοῦ Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος πατέρα
καὶ μητέρα καὶ κολληθήσεται τῇ γυναικὶ αὐτοῦ
καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. Τὸ μυ-
στήριον τοῦτο μέγα ἐστίν ἐγὼ δὲ λέγω εἰς Χν
καὶ εἰς τὴν ἐκκλησίαν Πλὴν καὶ ὑμεῖς οἱ καθ'
ἕκαστον τὴν ἑαυτοῦ γυναῖκα οὕτως ἀγαπάτω
ἡ δὲ γυνὴ ἵνα φοβῆται τὸν ἄνδρα. Τοῦτο γὰρ ἐστιν
εὐάρεστον τοῖς γονεῦσιν ὑμῶν. Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα
δίκαιον Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα
σου ἥτις ἐστὶν ἐντολὴ πρώτη ἐπαγγελίαν ἐπάγουσα